# CARMEN,

## quod v. 742 sqq. legitur, Emperius hoc potissimum modo constituendum existimat.

---

Str. α.
νῦν παραιτουμένῃ μοι, πάτερ
Ζεῦ θεῶν Ὀλυμπίων,
δὸς τύχας ταῦτ᾽ ἔχειν κυρίως,
τὰ σώφροσιν μαιομένοισιν ἦν.
διὰ δίκας πᾶν ἔπος
ἔλακον· ὦ Ζεῦ, σύ νιν φυλάσσοις.

St. β.
πρὸ δὲ δὴχθρῶν τὸν ἔσωθεν
μελάθρων Ζεῦ θές· ἐπεί νιν μέγαν ἄρας,
δίδυμα καὶ τριπλᾶ
παλίμποινα θέλων ἀμείψει.

Ant. ά.
ἴσχε δ᾽ ἀνδρὸς φίλου πῶλον, εὖνιν ζυγέντ᾽ ἐν ἅρματι,
πημάτων ἐν δρόμῳ, προςτιθεὶς
μέτρον· τίν᾽ ἂν σωζομένου ῥυθμὸν
τοῦδ᾽, ἴδοιμ᾽ ἔμπεδον
ἀνόμενον βημάτων ὄρεγμα;

Stro. γ.
οἵ τ᾽ ἔσωθεν δόμων
πλουτογαθῆ μυχὸν νομίζετε,
κλύετε σύμφρονες θεοί.
ἄγετε· τῶν πάλαι πεπραγμένων
αἷμα λύσασθε προσφάτοις δίκαις·
γέρων φόνος μηκέτ᾽ ἐν δόμοις τέκοι.